R/Tp 110 p

ANALECTA BOLLANDIANA, tome 42

avec les remerciements
de l'auteur
H. Delehaye

BIBLIOTHÈQUE
LYON

Bibliothèque Maison de l'Orient
129634

R/Tp 110p

# SYNAXARIUM

ET

# MIRACULA S. ISAIAE PROPHETAE

*Epitome de obitu Isaiae prophetae cum libello miraculorum eiusdem descripta est e codice bibliothecae Bodleianae Barocc. 240, seu Menologio mensis maii, saec. XII, fol. 72v-78 (1). Brevis illa narratio seu* Κοίμησις *cum ea plerumque verbis convenit quae in synaxario Sirmondiano ad diem 9 maii habetur, ita tamen ut in alterutra quaedam reperias quae in altera desiderantur. Deest autem in codice Bodleiano clausula illa maximi momenti de translatione corporis Constantinopolim et de celebrata synaxi :* ὕστερον δὲ μετακομισθὲν τὸ ἅγιον λείψανον αὐτοῦ ἐτέθη ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τοῦ ἁγίου Λαυρεντίου πλησίον Βλαχερνῶν, ἐν ᾧ καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται *(2). Iacebat autem sacrum corpus in oratorio cum templo Sancti Laurentii Blachernarum coniuncto :* πλησίον τοῦ ἁγίου Λαυρεντίου, *ut est in alio synaxario (3) ; et hic est* πάνσεπτος *ille* ναὸς *ubi miracula plurima patrata esse feruntur. Quod vel ex illa visione efficitur qua Isaias una cum S. Laurentio Michaeli cuidam sese ostendisse perhibetur (c. 3). De S. Isaia thaumaturgo eiusque* θεραπείας οἴκῳ *(c. 5), ubi incubandi mos viguisse videtur nihil praeter anonymi libellum ad nos pervenisse existimo.*

H. D.

*Μηνὶ τῷ αὐτῷ [μαΐῳ] θ'.*
*Κοίμησις ἐν Χριστῷ τοῦ ἁγίου προφήτου Ἠσαΐου.*

*Οὗτος ὁ ἐνδοξότατος καὶ μεγαλοφωνότατος τοῦ Θεοῦ προφήτης Ἠσαΐας ἦν ἀπὸ Ἱερουσαλήμ, θνήσκει δὲ πρισθεὶς εἰς δύο*

(1) *Catal. Gr. Germ.*, p. 320.
(2) *Synax. Eccl. CP.*, p. 667.
(3) Ibid., p. 424.



BIBLIOTHEEK NOAT

ὑπὸ Μανασσῆ τοῦ βασιλέως υἱοῦ Ἐζεκίου· καὶ ἐτέθη ὑποκάτω δρυὸς Ἀρωήλ, ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς χώσας αὐτά. Καὶ ὁ φιλάνθρωπος Θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ ἐποίησε διὰ τὸν προφήτην Ἡσαΐαν, διότι πρὸ τοῦ ἀποθανεῖν ὁ μέγας Ἡσαΐας ὀλιγωρήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ ὕδωρ ζῶν· διὰ τοῦτο ἐκλήθη Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. Ἀλλὰ μὴν καὶ ἐπὶ τοῦ Ἐζεκίου πρὸ τοῦ ποιῆσαι τοὺς λάκκους καὶ τὰς κολυμβήθρας ἐπὶ τῇ εὐχῇ τοῦ Ἡσαΐου μικρὸν ὕδωρ ἐξελήλυθεν, ὅτι ἦν ἡ πόλις καὶ ὁ λαὸς ἐν συγκλεισμῷ ἀλλοφύλων· καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα ὕδωρ, εἰσήκουσε Κύριος ὁ Θεὸς τῆς δεήσεως τοῦ προφήτου Ἡσαΐου· λοιπὸν ἠρώτων οἱ πολέμιοι, πόθεν πίνουσιν οἱ ἐν τῇ πόλει ὕδωρ· καὶ μαθόντες ἐχαράκωσαν τὴν πόλιν καὶ παρεκαθέζοντο τῷ Σιλωάμ. Ὅταν οὖν ἤρχοντο σὺν τῷ Ἡσαΐᾳ οἱ Ἰουδαῖοι, ἄφνω ἐξήρχετο τὸ ὕδωρ. Ἐπὰν δὲ οἱ ἀλλόφυλοι ἤρχοντο, οὐκ ἐξήρχετο τὸ ὕδωρ· διὸ καὶ ἕως σήμερον αἰφνιδίως ἐξέρχεται τὸ ὕδωρ κατὰ τὴν ὥραν, ἣν ἤρχετο ὁ Ἡσαΐας τότε σὺν τοῖς Ἰουδαίοις, ἵνα δειχθῇ τὸ μυστήριον· καὶ ἐπειδὴ διὰ τοῦ μεγάλου προφήτου Ἡσαΐου τοῦτο γέγονε τὸ παράδοξον θαῦμα, μνήμης αὐτοῦ χάριν καὶ ὁ λαὸς πλησίον αὐτὸν τοῦ Σιλωὰμ ἐπιμελῶς καὶ ἐνδόξως ἔθαψαν, ὅπως διὰ τῶν εὐχῶν αὐτοῦ ἔχωσιν ὡσαύτως τὴν ἀπόλαυσιν τοῦ ὕδατος, διότι καὶ χρησμὸς ἐδόθη αὐτοῖς περὶ τοῦ ὕδατος. Ἔστι δὲ ὁ τάφος Ἡσαΐου τοῦ προφήτου ἐχόμενα τοῦ τάφου τῶν βασιλέων ὄπισθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομῶν γὰρ ἐποίησε τοὺς τάφους τῶν βασιλέων καὶ τοῦ Δαυΐδ, διαγράψας κατὰ ἀνατολὰς τὴν Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαὼν μήκοθεν τῆς πόλεως σταδίων εἴκοσι· καὶ ἐποίησε σκολιὰν εἴσοδον σύνθετον καὶ ἀνυπονόητον καὶ ἔστι τοῖς πολλοῖς ἕως σήμερον ἀγνοουμένη τῶν τε ἱερέων καὶ ὅλῳ τῷ λαῷ. Ἐκεῖ εἶχεν ὁ βασιλεὺς Σολομὼν τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα· καὶ ἐπειδὴ Ἐζεκίας ὁ βασιλεὺς ἔδειξε τὸ μυστήριον τοῦ Δαυΐδ καὶ τοῦ Σολομῶντος τοῖς ἔθνεσι τοῖς Βαβυλωνίοις καὶ ἐμίαναν τὰ ὀστᾶ τῶν προπατόρων αὐτοῦ· διὰ τοῦτο ὁ Θεὸς ἐπηράσατο εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ καὶ ἄκαρπον ἐποίησεν ὁ Θεὸς αὐτὸν ἀπὸ τῆς ἡμέρας ἐκείνης.

*Ταῖς πρεσβείαις, ὁ Θεός, Ἡσαΐου τοῦ προφήτου σου καὶ ἡμῖν κατάπεμψον πλούσια τὰ ἐλέη σου, ὅτι εὐλογητὸς ὑπάρχεις πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

*Εἰς τὰ ἐν τῷ πανσέπτῳ ναῷ τελεσθέντα θαύματα νυνὶ τοῦ ἁγίου καὶ μεγάλου προφήτου Ἡσαΐου.*

1. Ὅσα μὲν διὰ τῶν αὐτοῦ θεραπόντων κατὰ καιροὺς ὁ τῶν ὅλων Prologus. Θεὸς θαυμάσια ἐξειργάσατο, οὐδεὶς ἂν ἀνθρώπινος λογισμὸς ἐν ἑαυτῷ ἀκριβῶς ἀναλογίσαιτο ἕκαστα, μή τι γε καὶ δυνήσεται ἐξειπεῖν καὶ γραφῇ παραδοῦναι, ὥσπερ προσῆκον· ἄλλος δέ γε ἄλλο τι τῶν πάντων ἐκλαβὼν καὶ τοῦτο ὡς οἷόν τε ταῖς εὐφημίαις τῶν λόγων ὑμνήσας ἑαυτῷ τε καὶ πᾶσι τοῖς ἐντυγχάνουσι τὴν ψυχικὴν ὠφέλειαν προσηνέγκατο· ἀπείρου γὰρ ὄντος τοῦ τῶν θείων θαυμάτων πελάγους καὶ μήτε τέλος μήτε ἀρχήν τινι ῥᾳδίαν παρέχοντος, εἰκότως οὐδὲ ἡ περὶ αὐτὰ κατάληψις ῥᾳδία ὑπάρχει. Τούτων δ' οὕτως ἐχόντων καὶ τοιούτῳ τρόπῳ τὰ θεῖα μεγαλεῖα πάντων ἀνευφημούντων, φέρε δὴ καὶ ἡμεῖς νῦν ἅπερ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ὁ τῶν προφητῶν μεγαλοφωνότατος Ἡσαΐας ἐθαυματούργησεν, ἡ τοῦ κόσμου παντὸς διαπρύσιος σάλπιγξ, τὸ θειότατον καὶ σεβάσμιον στόμα, ἡ ἄφθονος πηγὴ καὶ ἀείρρυτος, εἰς μέσον ἀγάγωμεν καὶ τῷ μὲν δοκεῖν ὅσον τὸ ἐφ' ἡμῖν γε ἐπαινεσώμεθα, τῷ δ'ὄντι τῆς ἀπ' αὐτῶν ὠφελείας μετάσχωμεν καὶ αὐτοὶ καὶ τοῖς παροῦσιν ὥς τινα τράπεζαν παντοίων ἐδεσμάτων πεπληρωμένην προθήσωμεν. Ὥσπερ γὰρ οἱ τῶν παρ' ἡμῖν μεγάλων τινὰς δι' ἐπαίνων σπουδάζοντες ἐπαίρειν οὐ τοσοῦτον τῆς ἀπὸ τῶν λόγων αὐτοῖς δόξης μετέδωκαν, ὅσον αὐτοὶ παρ' αὐτῶν δώρων μετέλαβον, οὕτως οἱ τὰ μεγαλουργήματα τοῦ Θεοῦ ταῖς εὐφημίαις καταγεραίροντες οὐ κόσμον τινὰ προστιθέασιν ἀλλ' ἢ μόνον αὐτοὶ κατακοσμοῦνται καὶ πλουτίζονται τῇ τοῦ Θεοῦ χάριτι. Ἃ γὰρ ὡς δυνατὸν αὐτοῖς Θεῷ εὐχαριστήρια ἀναφέρουσι, τούτων ὡς δυνατὸν παρὰ Θεοῦ τὴν ἀνταμοιβὴν ἀπεκδέχονται· 1 Reg. 2, 30. τοὺς γὰρ δοξάζοντάς με δοξάσω, φησίν· ὅση δὲ ἡ διαφορὰ τῆς τῶν ἀνθρώπων δόξης πρὸς τὴν τοῦ Θεοῦ, οὐδείς ἐστι πάντων ἀνθρώπων ὃς μὴ ἐπίσταται. Ἐβουλόμην μὲν οὖν ἔγωγε καὶ πάντα τὸν αὐτοῦ βίον εἰς μέσον προθεῖναι καὶ ἅπερ ἔτι ὢν ἐν τῷ βίῳ διήνεγκεν ἐπαινέσαι· ἀλλ' ἐπειδὴ τὸ τὰ νέα ὑπερβάλλειν τῷ πλήθει συμπαραληφθέντα τοῖς παλαιοῖς πλῆθος λόγου ἐργάζεται, εἴωθε δὲ μάλιστα ῥᾳθυμίαν ἐμβάλλειν ἀκροαταῖς λόγος ἄμετρος, ἵνα μὴ καὶ ἐφ' ἡμῖν τοῦτο γένηται, πρὸς δὲ καὶ τῷ εἶναι τὰ πάλαι τοῖς πᾶσιν οὐκ ἄδηλα περιττὸν ἡγησάμενος τό γε νῦν ἔχον ταῦτα περιεργάζεσθαι, ἐκεῖνα μὲν ἐάσω· ἄρξομαι δὲ λοιπὸν τούτων, δι' ἃ τὸν λόγον τουτονὶ ἀρτίως ἐνεστησάμην, τὸν τούτου δὴ τοῦ ἐγκω-

*Psalm. 105, 2.*

μιασθησομένου Θεὸν σύμμαχον προστησάμενος, ὥστε μὴ πάντη ἀφαμαρτεῖν τοῦ σκοποῦ, ἀλλ' ὡς τοῖς περὶ σῶμα νοσοῦσι δι' αὐτοῦ τὴν ἴασιν ἐχαρίσατο, οὕτως κἀμοὶ περὶ τουτονὶ τὸν λόγον ἀγωνιῶντι δοῦναι λόγον αἰνέσεως, τοῦ διηγήσασθαι πάντα αὐτοῦ τὰ θαυμάσια καὶ ἀκουστὰς ποιήσασθαι πάσας τὰς αἰνέσεις αὐτοῦ, ἵν' ὥσπερ ἐκείνοις τὴν ἔξωθεν ῥῶσιν οὕτω τοῖς ταῦτα μετερχομένοις τὴν ἔσω χάριν δωρήσηται.

*Iohannes iuvenis Thracius,*

2. Νεανίας τις Ἰωάννης καλούμενος, οἰκῶν ἐν τῷ Πανείδει τῆς Θρᾴκης ἐν τῷ ἀριστᾶν ποτε ὕδωρ αἰτήσας τοῦ ἀπονίψασθαι, ὃ ἔτυχεν ὂν φαρμάκῳ δεδηλημένον, κινδύνῳ χαλεπῷ περιέπεσεν. Ἐπειδὴ γὰρ τὰς ἑαυτοῦ χεῖρας ἐβάπτισεν εὐθὺς κατὰ παντὸς τοῦ σώματος ἐγκατασκῆψαν τὸ δηλητήριον οὕτως αὐτὸν διέθηκεν, ὥστε μηδ' ὅλως ἐν ἑαυτῷ δύνασθαι εἶναι, ἀλλ' ἀεὶ σπαρασσόμενον κατατρύχειν καὶ καταδαπανᾶν ἑαυτόν.

*Psalm. 67, 36.*

Τί οὖν ὁ θαυμαστὸς ἐν τοῖς ἁγίοις αὐτοῦ πεποίηκε Κύριος, ὁ βραχὺ μὲν παιδεύων ἐπὶ πλεῖστον δὲ τὸν ἔλεον ἐκκενῶν; τὸν προκείμενον ἡμῖν, τῶν προφητῶν τὴν κορωνίδα, Ἡσαΐαν εἰς τὴν θεραπείαν προΐησιν· ὃς ἐπιστὰς τῷ νεανίᾳ ὀψέ που καθευδήσαντι μόγις τὸν ἑαυτοῦ οἶκον ζητεῖν ἐνετείλατο ἐν τῇ βασιλευούσῃ τυγχάνοντα, εἰ βούλοιτο τυχεῖν τῆς ἰάσεως· ὃς ἀνεθεὶς τοῦ ὕπνου εὐθέως τοῦ ὁραθέντος μηνυτὴς τοῖς γονεῦσι γίνεται· οἳ κατὰ μηδὲν μελλήσαντες ὅσον τάχος σπουδῇ σὺν τῷ υἱῷ πρὸς τὸν ποθούμενον παραγίνονται. Καὶ δὴ γενομένων τούτων ἐν τῷ ἱερῷ, ὁρᾷ ὁ παῖς τὸν ἐν νυκτὶ ἀμυδρῶς πως ὀφθέντα αὐτῷ ἄγαν ἐκλάμπρως πρὸ τῆς εἰσόδου τοῦ ἱεροῦ ναοῦ προτετυπωμένον· καὶ ἰδὼν ἔγνω καὶ γνωρίσας οὕτως ἀνεβόησε λέγων· «Οὗτος ὁ ἐμὸς ἰατρός, οὗτος ὁ τὴν ἐμὴν ἀρρωστίαν ἐπισκεψάμενος, οὗτος ὁ τὴν τῷ δηλητηρίῳ σεσαθρωμένην σάρκα εἰς ἀμείνω καὶ νέαν μεταμεῖψαί μοι ὑποσχόμενος τῇ αὐτοῦ θεραπείᾳ· ἀλλ' ὦ προφῆτα Χριστοῦ καὶ προφητῶν ἁπάντων σεβασμιώτατε, μή μου τὴν ἱκεσίαν παρίδῃς, μηδὲ τῆς ἐνθάδε πορείας τὴν ἐλπίδα δείξῃς ματαίαν· ἐπὶ σοὶ γὰρ ἐλπίζων τὴν πρὸς σὲ ἄφιξιν ἐποιησάμην.» Ταῦτα ἔλεγε καὶ ἡ χάρις τοῖς αἰτοῦσι τὴν ταχίστην ἐδίδοτο, ὡσεὶ λεπίδων ἀπὸ παντὸς τοῦ σώματος τῆς διεφθορυίας πεπτωκυίας σαρκὸς καὶ ὡσεὶ νεογνοῦ ἐλάφου ἢ βρέφους τῆς λειπομένης ἀναφυείσης· καὶ οὗτοι μὲν χαίροντες ἐπὶ τούτῳ καὶ τῷ ἁγίῳ καὶ τῷ δι' αὐτοῦ τὴν ἴασιν παρασχόντι Θεῷ τὴν προσήκουσαν ἀπονείμαντες εὐχαριστίαν οἴκαδε ἀνεχώρησαν.

*Michael protospatharius,*

3. Ἕτερος δὲ Μιχαὴλ μὲν ὀνομαζόμενος καὶ ἐναρέτως βιῶν, τῇ τοῦ πρωτοσπαθαρίου δὲ τετιμημένος ἀξίᾳ, φαρμάκου πόσει τὸ ζῆν ἀπειπών, πρὸς τὸν θεῖον τοῦ προφήτου ναὸν παραγίνεται·

*καὶ τρεῖς καταμείνας ἡμέρας ὁρᾷ μετὰ ταῦτα τὸν πανένδοξον προφήτην μετὰ τοῦ μεγαλομάρτυρος Λαυρεντίου προστάττοντα αὐτῷ καθεσθέντι ἐφ' οἷς αὐτοὶ κεκομίκεσαν διφρίσκῳ καὶ σκάφῃ τὴν χρείαν ποιήσασθαι· ὃ καὶ ποιήσας, εἶτα κελευσθεὶς τοῖς κατενεχθεῖσιν ἐμβλέψαι, ὁρᾷ σαύρας καὶ ὄφεις κατακεκομμένους, θέαμα φοβερόν· βουληθεὶς οὖν ἀποδράσαι, οὐ συνεχωρήθη πρὸς τοῦ προφήτου, ἕως ἂν πᾶσαν τὴν λύμην ἀποκενώσας τὸν οἶκον αὐτοῦ καταλήψοιτο. Ἐπεὶ δὲ τοῦτο πεποίηκε, καὶ τοῦ κατέχοντος δεινοῦ πάθους παραυτίκα ἐλέλυτο, ὥστε μεθ' ἡμέραν τὸν εὐχαριστήριον ὕμνον ἀποδοὺς τῷ Θεῷ ὅλος ὑγιὴς ἀνεχώρησε.*

*Constantinus Paphlago,*

4. *Κωνσταντῖνος δέ τις τῆς Παφλαγόνων χώρας ὁρμώμενος, ἦν μὲν τὴν τέχνην ἀμπέλων ἐργάτης. Καύματος δέ ποτε καταλαβόντος, τὰ τῆς τέχνης μετεχειρίζετο· καὶ αὐτῷ διψῆσαι συμβὰν ἅμα τῷ ῥοφηθέντι ὕδατι βατράχων γεννήματα ἐκπιεῖν ἐξεγένετο· ὧν αὐξηθέντων καὶ τὴν γαστέρα καθ' ὑπερβολὴν ἐξοιδησάντων, ὥστε κατάγχειν καὶ βίᾳ ἐπαναγκάζειν τὸ πνεῦμα τοῦ οἰκείου σκήνους ἀπορραγῆναι, ὁ δηλωθεὶς ἀνὴρ τὸν τοῦ προφήτου σηκὸν καταλαμβάνει. Τούτου οὖν αὐτῷ κατ' ὄψιν παρακελευσαμένου τῷ οἰκείῳ νεῷ ἀνακλιθῆναι, ἐπειδὴ τοῦτο ὁ πάσχων πεποίηκεν, αὖθις προστάξαντος αὐτοῦ τῷ τῷ σεβασμίῳ ναῷ παραμένοντι ἔδεσμα τῷ νοσοῦντι ποιῆσαι μίξαντι καὶ τοῦ ἁγίου ἐλαίου, φαγὼν αὐτὸ καὶ ἐν ἀφεδρῶνι πάντα κενώσας, ἃ τὴν ἀφόρητον ἐκείνην νόσον ἐποίει, ὑγιὴς ἀποκατέστη καὶ τῶν κατατρυχουσῶν ὀδυνῶν ἐξελάθετο. Καὶ οὗτος μὲν οὕτως χαίρων καὶ εὐχαριστῶν τῷ Θεῷ τὴν οἴκοι πορείαν ἐστέλλετο.*

*Iohannes piscator,*

5. *Ἀνὴρ δέ τις Ἰωάννης ἐπονομαζόμενος, ἁλιεὺς μὲν ὤν, πάθει δὲ τὸν λαιμὸν ὀδυνώμενος, πρὸς τὸν τῆς θεραπείας οἶκον τοῦ προφήτου πορεύεται κληθεὶς ὑπ' αὐτοῦ. Εἰ γὰρ πίστει κεκόσμητο ὁ ἀνήρ, ἀλλ' οὖν ὡς ἐλεήμων ὁ προφήτης προέφθασεν· ἱκανὰς δὲ καταμείνας ἡμέρας ἐκεῖσε, κατ' ὄψιν πορεύεσθαι καὶ ἁλιεύειν τοῦ ἁγίου προστάξαντος, σὺν τάχει τοῦτο ποιήσας πεντήκοντα τὸν ἀριθμὸν θυμιάματος θυλάκους ἤγρευσε, θαῦμα παράδοξον, ἐν ὑγρᾷ τὰ ξηρὰ γεώργια εὑρηκώς, ἵνα καὶ παράδοξον ἐν ἑαυτῷ διὰ τούτων εὕρῃ τὴν ἴασιν· ἃ γὰρ παρ' αὐτοῦ εἴληφε, ταῦτα αὐτῷ προσκομίσας τὴν ὑγίειαν ὁλοσχερῶς ἀντὶ τούτων ἐδέξατο καὶ ὑγιὴς καταστὰς τὴν προσήκουσαν εὐχαριστίαν ἀπέδωκε· καὶ ὧδε μὲν τὰ περὶ τούτου τέλος εἴληφε.*

*Georgius monachus,*

6. *Μοναχός δέ τις, Γεώργιος τοὔνομα, ὕδρωπι τῷ δεινοτάτῳ νοσηλευόμενος, παρέμεινε τῷ σεβασμίῳ τούτου ναῷ, ἐν ᾧ πολλοὶ τὴν θεραπείαν ἐδέξαντο, καὶ αὐτὸς ταύτην ἐλπίσας κομίσασθαι·*

ἐπικυρῶν δὲ τούτῳ τὴν ἐλπίδα τῶν προφητῶν ὁ πανεύφημος οὐ ματαίως γεγένηται πλήξας αὐτὸν ἐν νυκτί, ὥστε διαρρηχθῆναι καὶ χαμαὶ πᾶν καταρρεῦσαι τὸ πάσχειν αὐτὸν ἐμποιοῦν ἕλκος. Ὑγιὴς οὖν καταστὰς ὁ εἰρημένος μοναχὸς μετ' εὐχαριστίας καὶ πλείονος πίστεως καὶ ψυχικῆς κατανύξεως τοῦ ἱεροῦ σηκοῦ ὑπεξήρχετο· ὃν γὰρ ἰατρὸν ἠπίστατο δοκιμώτατον, τούτῳ μηδὲν ἀντάξιον ἀντιδοῦναι δυνάμενος, ᾧ ἠδύνατο ταῖς εὐχαριστίαις κατακόρως καὶ ὑπερμέτρως ἠμείβετο, ὥστε συμβαίνειν ἐν τῷ ἰᾶσθαι τὰς τοῦ σώματος νόσους καὶ τὴν ψυχὴν λαμπροτέραν καὶ θεοειδεστέραν ἐργάζεσθαι καὶ μηδενὶ ἄλλῳ ἐλπίζειν ἢ τῷ δυναμένῳ ἀμφότερα σῴζειν ἐν περιστάσεσιν.

*Constantinus protospatharius,*

7. Ἦν δέ τις πάλιν Κωνσταντῖνος ἐπικαλούμενος, τῇ μὲν ἀξίᾳ πρωτοσπαθάριος, νόσῳ δὲ κάτοχος βαρυτάτῳ· πάντων γὰρ αὐτοῦ τῶν ἄρθρων κεκωλυμένων καὶ παραπεπτωκότων οὐδαμοῦ οὐδ' ὅλως κινηθῆναι ἠδύνατο. Οὗτος ἐπειδήπερ ἐν τῷ σεπτῷ ναῷ τοῦ ἱεροφώνου κατετέθη, ἐν ᾧ οὐδέπω οὐδέποτε τῶν παραγεγονότων κενός τις ὑπέστρεψε, σὺν πᾶσι καὶ αὐτὸς τοῦ ἐλπισθέντος ἐπέτυχε· τὴν γὰρ ἐπήρειαν τοῦ σώματος θεραπευθῆναι ζητῶν, εὗρε· (Matth. 7, 7.) «Ζητεῖτε γάρ, φησίν, καὶ εὑρήσετε·» καὶ εὑρὼν εὐχαριστίαν ἀντεισαγαγεῖν, ἐπεὶ μήτινα ἄλλην ἐξίσχυεν, ἔσπευδεν, ἵνα μὴ ἀχαριστίας ἁλῷ γραφῇ· ὁ οὖν ἀκάθαρτος ἅτε μὴ φέρων τὴν ἧτταν καὶ σπεύδων αὖθις νόσῳ περιβαλεῖν τῆς παλαιᾶς χείρονι τὸν ἵππον ταράξας, ᾧ ἐπωχεῖτο, εἰς γῆν καταρρίπτει καὶ τῶν ποδῶν τὸν ἕτερον πάντη συνθλᾷ, φθονήσας πάντως τῷ θεραπευθέντι ὁ πονηρότατος, ὅτι δὴ τοῦτον ἑώρα πρὸς τὸν ἱερὸν τοῦ προφήτου σηκὸν ἀφικόμενον τὸν εὐχαριστήριον ὕμνον ἀποδώσοντα· ἀλλὰ γὰρ κρείττων ὁ ἰσχυρὸς κύριος δούλου δραπέτου, πανουργίᾳ πορίζομένου τὸ δύνασθαι· ὁ μὲν γὰρ ἀντικείμενος ὅλον τὸν ἄνδρα ἠπείγετο θανατῶσαι, ὁ δὲ κύριος τῶν ἁπάντων αὖθις αὐτὸν ὡς δυνάμενος ἀνεκτήσατο. Κλινήρης γὰρ πρὸς τὸν ναὸν ἀφικόμενος ὑπὲρ δορκάδα τρέχων, ὅ φησιν ἡ θεία γραφή, ἐπανῆλθε. Καὶ ὁ μὲν διπλοῦ κινδύνου ῥυσθείς, διπλαῖς ἐκτενεστάταις δεήσεσι τὸν Κύριον ἐμεγάλυνε.

*Nicolaus argentarius,*

8. Νικόλαος δέ τις ὀνομαζόμενος, ἀργυραμοιβὸς τὴν τέχνην, παραλελυμένος ὢν παντελῶς καὶ μὴ χεῖρας μὴ πόδας ἐκτεῖναι δυνάμενος, ὥστε καὶ ἐν φορείῳ κομίζεσθαι, κληθεὶς παρ' αὐτοῦ, ὡς ἂν ἐν τῷ οἴκῳ γενόμενος ἑαυτοῦ τὴν ἴασιν δέξηται, ἀφίκετό τε καὶ ὃ ἠθέλησεν ἐκομίσατο. Οὐ γὰρ οἱ τοῦ Θεοῦ θεράποντες τὴν χάριν ἀναβάλλονται, ἀλλὰ πρὶν αἰτηθῆναι κατεπαγγέλλονται καὶ πρὶν ἢ τελέως κατεπαγγείλωνται τὴν ἴασιν προστιθέασιν.

*Iohannes*

9. Ἰωάννης δέ τις, μειράκιον ὤν, ἠνωχλεῖτο μὲν ὑπὸ κωφοῦ πνεύ-

μάτος καὶ ἀλάλου. Ἀχθεὶς δὲ ἐν τῷ ναῷ ὑπὸ τῶν γονέων, ἐκείνου τε τοῦ ἐνοχλοῦντος αὐτῷ ἀπηλλάγη πάθους καὶ τὴν δέουσαν ἀναπέμψας εὐχαριστίαν Θεῷ οἴκαδε ἀνεχώρησε. *adulescentulus,*

*Anna puella,* 10. Τῷ αὐτῷ δὲ τούτῳ πάθει καὶ κόρη τις Ἄννα ὀνόματι κάτοχος ἱστὸν ποτε ὑφαίνουσα καὶ τοῦτον διαφόροις ἰδέαις καταποικίλλουσα ἐνύχθη τε ὑπὸ τοῦ πονηροτάτου καὶ ἐν τῷ ἱερῷ οἴκῳ ὑπὸ τῶν γονέων αὐτῆς κομισθεῖσα τήν τε θεράπειαν ἐδέξατο καὶ ἄλλους τοῖς αὐτοῖς τούτοις ἐχομένους τοῦτον ἰατρὸν ζητεῖν ἀληθῶς ἰώμενον προετρέψατο.

*Constantinus quidam,* 11. Κωνσταντῖνος γάρ τις καὶ αὐτὸς τούτῳ συνελαυνόμενος τῷ νοσήματι, ἰδὼν τοῦτο τά τε ὅμοια ἔπραξε καὶ τὰ ἴσα ἀπείληφε. Καὶ οὗτοι μὲν πίστεως μεγίστης μέγιστον ἐδρέψαντο τὸν καρπόν.

*Macrina,* 12. Μακρίνα δέ τις πάθος μὲν εἶχεν ἔν τε τοῖς σπλάγχνοις καὶ τῷ στομάχῳ ἀφόρητον· ἀστέκτου δὲ ὄντος ἐζήτει τὴν ἴασιν καὶ παρὰ τοὺς ἰατροὺς πορευθεῖσα περὶ θεραπείας αὐτοῖς διελέγετο, μισθὸν μὲν καὶ ὑπὲρ τὸ προσῆκον προτεινομένη, ἀντιλαβεῖν δὲ τὴν ὑγίειαν ἀξιοῦσα· οἳ καὶ πρὸς τοὺς μισθοὺς ἀπιδόντες ἐνεχείρουν τῷ πράγματι. Ἔμελλε δὲ ἄρα ὁ μὲν μισθὸς καταβάλλεσθαι, ἡ δὲ νόσος μὴ θεραπεύεσθαι καὶ ἡ μὲν αὐτῆς ἐλαττοῦσθαι μέλλουσα κτῆσις πρὸς τοὺς ἰατροὺς μεταπίπτειν, ἡ δὲ ἀπὸ τοῦ πάθους ὀδύνη ἔτι πλέον αὐξάνεσθαι· τοιγαροῦν ὅσον ἐκεῖνοι ἰῶντο, ἡ νόσος ἐσφάδαζε καὶ ὅσοις θεραπεύειν φαρμάκοις ἠπείγοντο, τούτοις δὴ τρόπῳ δηλητηρίων ταύτην ἐκάκουν. Ἦν γὰρ ὡς εἰκὸς δίκαιον καὶ ταύτην παρὰ τοῦ ὄντως ἰατροῦ ἰαθῆναι καὶ μήτε φαρμάκοις μήτε μισθοῖς κεχρημένου, πίστεως δὲ μόνης ζεούσης καὶ ἀρετῆς ἆθλον προτιθεμένου τὴν ἴασιν· ὡς γὰρ ἐπὶ τρισὶν ἔτεσι νοσοκομουμένη οὐδεμίαν ὄνησιν εὕρισκε καὶ ἃ εἶχεν ἀπώλεσεν, ὧν ἐδεῖτο μὴ τυχοῦσα πρὸς μὲν τὸν ἱερὸν οἶκον ἀφίκετο· ἐλθοῦσα δὲ προσπίπτει ὡς εἰκὸς τῷ προφήτῃ, ὅτι μὴ πάλαι πρὸς αὐτὸν παραγέγονεν, ἀλλ' ἀνθρωπίνῃ βοηθείᾳ ἐπήλπισε, συγγνώμην αἰτοῦσα· « Δύνασαι γοῦν, φησίν, εἰ βούλει, τοῦ Θεοῦ προφῆτα πανένδοξε, καὶ νῦν ἰάσασθαι καί μοι τῆς τε μὴ ἐκ τοῦ εὐθέος πρὸς σὲ καταφυγῆς συγγνῶναι καὶ οὗ χρῄζω τὴν θεραπείαν πορίσασθαι· εἰ γὰρ καὶ πάλαι προσεκείμην ἀνθρώποις, ἀλλ' οὖν τὸ πλέον σοί, μᾶλλον δὲ τὴν πᾶσαν ἐλπίδα ἀνέθηκα. » Ταῦτα γοῦν εἶπε καὶ ἅμα τῷ λόγῳ (φησίν) ἥ τε δέησις εἰσηκούετο καὶ ἡ αἴτησις ἐπληροῦτο· ὁ προφήτης τὴν νόσον ἀφείλετο καὶ ἡ γυνὴ τὴν ῥῶσιν ἐδέξατο, ὥστε τοῦ τε τάχους καὶ τῆς θεραπείας τὸν τρόπον θαυμάσασα εὐχαριστηρίοις ὕμνοις τὸν ἅγιον εὐφημήσασα οἴκαδε χαίρουσα ἐπορεύετο, πᾶσι τὰ τοῦ Θεοῦ μεγαλεῖα κηρύττουσα.

*Agapitus,* 13. Ἀγαπητός δέ τις νόσῳ δεινῇ κατεχόμενος καὶ μηδ' ὅλως βαδίσαι δυνάμενος, ταύτην ζηλώσας πρός τε τὸν προφήτην ἐγένετο καὶ τὴν ἴασιν ἐκομίσατο.

*Anatole,* 14. Ἀλλὰ καὶ γυνή τις Ἀνατολὴ προσαγορευομένη, μαγείαις παρατραπεῖσα τὸν νοῦν καὶ παράφορος ἀκαθάρτῳ πνεύματι γενομένη, ἱκέτις τοῦ ἁγίου γίνεται · καὶ δὴ δι' ἐνυπνίου ἐν τῷ ναῷ οὔσῃ αὐτῇ ὁ προφήτης ἐφίσταται προστάσσων πορευθῆναι αὐτὴν ἐν τῷ οἴκῳ αὐτῆς καὶ μέσον αὐτοῦ που ἐρευνήσασαν ἐν τῇ γῇ ἐφευρεῖν τὴν αἰτίαν τῆς νόσου · ἥτις δὴ τοὺς γονεῖς λαβοῦσα μεθ' ἑαυτῆς τοῦτο ἐποίησε καὶ ἃ ἐξήτει δηλητήρια ἐφευροῦσα πρὸς τὸν θεραπευτὴν αὖθις ἠπείγετο. Ὡς οὖν ἤγγισε τῷ τόπῳ εὐθὺς ὑπὸ τοῦ δαίμονος σπαράσσεσθαι ἤρξατο καὶ οὕτως δρόμῳ πολλῷ εἰσελθοῦσα πρὸς τὸ ἱερὸν καὶ μέγα θυσιαστήριον τῆς τε ἀΰπνου φωταγωγοῦ χανδὸν σπασαμένη πᾶσαν ἀπέπιε καὶ τοῦ πάθους παραυτίκα ἀφείθη.

*Maria,* 15. Μαρία δέ τις ὕδρωπι νοσηλευομένη πολλῷ χρόνῳ, τόν τε ἅγιον ἐπεζήτησε καὶ τῷ σεβασμίῳ οἴκῳ προσμείνασα τῆς ἐλπίδος οὐχ ἥμαρτεν · ἐνύχθη γὰρ παρ' αὐτοῦ νυκτός, καὶ τότε ἕλκος ἅπαν κατέρρευσε καὶ αὐτὴ τοῦ πάθους ἀπήλλακτο.

*altera Maria,* 16. Ἑτέρα δέ τις γυνὴ τῇ αὐτῇ κλήσει ἐπονομαζομένη, τὸν πόδα ἀλγοῦσα δεινῶς καὶ μηδόλως αὐτὸν δυναμένη πατῆσαι, ὡς μόνον πρὸς τὸν πολλοῖς παρασχόμενον τὴν θεραπείαν ἦλθε προφήτην τοῦ τε πόνου ἐπαύσατο καὶ τὴν δέουσαν τῷ Θεῷ εὐχαριστίαν ἀνέπεμψε.

*Theophylactus,* 17. Θεοφύλακτος δέ τις πάλιν προσαγορευόμενος, παραλυτικὸς ὢν καὶ πυρετῷ ἀνυποίστῳ βασανιζόμενος, ἐν ὄψει αὐτῷ τοῦ προφήτου γενομένου καὶ παντὶ μέλει τὸν τοῦ τιμίου σταυροῦ τύπον διαχαράξαντος, ἰάθη τε καὶ οἴκαδε χαίρων ἀπήρχετο, ἅπασι τὰ τοῦ Θεοῦ μεγαλεῖα δημοσιεύων · καὶ ταῦτα μὲν ὧδε ἐγένετο, Θεοῦ ταῖς τοῦ προφήτου καμπτομένου δεήσεσι καὶ τοῖς αἰτοῦσι τὴν ῥῶσιν βραβεύοντος.

*Eupraxia,* 18. Γυνὴ δέ τις τῶν εὐγενῶν Εὐπραξία τοὔνομα ὑπὸ τῶν ἑαυτῆς ἐπιβουληθεῖσα θεραπαινίδων μαγείαις καὶ μηδόλως σθένουσα κινηθῆναι, μιᾷ τῶν νυκτῶν ὀφθέντος αὐτῇ τοῦ κηδεμόνος τῶν ἁπάντων καὶ ὑποσχομένου ὑγίειαν, εἰ καὶ αὐτὴ ἀνθυπόσχηται μὴ κακοῦ κακὸν ἀντιδοῦναι ταῖς ἐπηρεασάσαις[1], συνετάξατο πάντα τὰ προσταττόμενα, εἰ μόνον τῆς ὑγείας ἐπιτύχοι, ποιῆσαι · καὶ ἐν τῷ προσκεφαλαίῳ καὶ τῇ πύλῃ ἃ ἂν εὕρῃ κατακαῦσαι παρὰ τοῦ ἁγίου ὁρισ-

[1] ἐπηρεάσασι cod.

θεῖσα, τοῦτό τε ἐποίησε μηδὲν πολυπραγμονήσασα καὶ τῆς ὑγείας ἐπιτυχοῦσα τὴν εὐχαριστήριον ᾠδὴν τῷ Θεῷ ἀποδέδωκε.

Martha,

**19.** Μάρθα δέ τις ἐκ τῆς αὐτῆς αἰτίας νοσήσασα καὶ τὸν ἅγιον ἐκζητήσασα ἐζητήθη καὶ αὐτὴ παρ' αὐτοῦ· εἰ γὰρ μὴ ἐπιζητούμενος ἐπιβλέπει, πόσῳ μᾶλλον, ἐὰν καὶ τοῦτο προσγίνηται· εἰπόντος γοῦν αὐτοῦ οἴκοι τε ἀπελθεῖν καὶ ὀρύξασαν ἐν τῷ πυλῶνι ἣν ἂν εὕροι ὄρνιθα δεδεμένην μετὰ τῶν ἑαυτῆς τριχῶν καί τινων ἄλλων ἐνταυθοῖ κομίσαι καὶ κατακαῦσαι, ἐποίησέ τε τὸ προσταχθὲν καὶ τῆς νόσου ἀπαλλαγεῖσα ὑγιὴς ἐν τῷ οἴκῳ ὑπέστρεψε.

Petrus a sancto sanantur.

**20.** Καὶ Πέτρος δέ τις τῇ αὐτῇ ἀρρωστίᾳ περιπεσὼν πρὸς τὸ πάντων νοσοκομεῖον ἐγένετο, τὰ πᾶσι δωρούμενα θέλων καὶ αὐτὸς κομίσασθαι. Τοῦ οὖν προφήτου ἐμφανισθέντος καὶ τῆς ἀκοιμήτου τοῦτον ποτίσαντος, εὐθέως ἐκδυθείσης αὐτοῦ τῆς σαρκὸς πάσης τῆς γοητείας, ἐρρωμένος ψυχῇ καὶ σώματι κατεστάθη. Καὶ ὁ μὲν τῆς νόσου ἀφεθεὶς τῷ πανενδόξῳ προφήτῃ ἐν ὅλῃ καρδίᾳ ἐξωμολογήσατο καὶ τῷ τοῦ ὑψίστου ὀνόματι ἔψαλλεν.

Adhortatio.

**21.** Ἡμεῖς δὲ τὸ τέλος τῶν αὐτοῦ φθάσαντες κατορθωμάτων καὶ θαυματουργημάτων καὶ τὸν ἄπειρον καὶ πλατὺν διανύσαντες πλοῦν, τῷ Θεῷ τὴν εὐχαριστίαν ἀνοίσωμεν, ὅτι τῶν τοιούτων αὐτοῦ θαυμασίων ἐξηγητὰς ἠξίωσε γεγενῆσθαι· καὶ καθάρωμεν ἑαυτοὺς παντὸς μολυσμοῦ καὶ λουσώμεθα καὶ καθαροὶ κατὰ τὴν αὐτοῦ τοῦ ἱεροφώνου κήρυκος μυσταγωγίαν γενώμεθα καὶ πᾶσαν ἁμαρτίαν τῶν ψυχῶν ἡμῶν ἀφελώμεθα, ὡς ἂν μὴ τὰ τοῖς ἁμαρτωλοῖς ἐκδιηγουμένοις τὰ τοῦ Θεοῦ δικαιώματα καὶ τὴν αὐτοῦ διαθήκην ἀναλαμβάνουσι διὰ στόματος ἐπαπειλούμενα παρὰ τοῦ προφήτου πεισόμεθα [1], ἀλλὰ τούτων τε οἵ τε ἐξηγηταὶ ἡμεῖς καὶ ὑμεῖς οἱ ἀκροαταὶ ἀκατάκριτον τὴν διέξοδον ἕξομεν καὶ τὸν φιλάνθρωπον Θεὸν ταῖς τοῦ προκειμένου προφήτου ἱκετηρίοις δεήσεσιν ἵλεων σχόντες τῶν ἐκεῖθεν ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Psalm. 49, 16.

[1] πεισαίμεθα cod.

BIBLIOTHEQUE SALOMON-REINACH
LYON